τά τε περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεώς ἐστιν, ὧν ἔμπροσθεν ἐμνη-
μόνευσα· καὶ τὰ περὶ συνθέσεως φαρμάκων, οἷς τὰ τῆς θεραπευτικῆς ἕπε(ται)
μεθόδου γεγραμμένης ἡμῖν ἰδίᾳ, καὶ τῆς τῶν ὑγιεινῶν πραγματείας· ὅτι δὲ
καὶ πρὸ ἁπάντων τούτων ἐγγεγυμνάσθαι χρή, τῇ περὶ τῆς ἀποδείξεως
πραγματείᾳ τοὺς μέλλοντας λογικῶς μεταχειρίζεσθαι τὴν τέχνην, ἐν τῷ
περὶ τῆς ἀρίστης αἱρέσεως ἐπιδέδεικται γράμματι· περὶ δὲ τῶν ἄλλων συγ-
γραμμάτων καὶ ὑπομνημάτων ὧν ἔγραψα μέν, οὐκ ἀναγκαῖόν ἐστι λέγεσ-
θαι νῦν· ὑπὲρ ἁπάντων μέλλοντας ἐρεῖν ἑτέρωθι καθ᾽ ἑαυτὸν ἰδίως· ἐν δυο
βιβλίοις τὴν ἐπιγραφὴν ἔχοντα:

Hippocratis Aphorismi, cum Galeni Comment.

βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα
σφαλερά· ἡ δὲ κρίσις χαλεπή· δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέ-
οντα ποιοῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθ(εν):
τί μὲν οὖν τοσοῦτος ὁ λόγος εἴθ᾽ εἷς ἀφορισμός ἐστι, εἴτε δύο, προοίμιον ὑπάρχον
τοῦ παντὸς συγγράμματος, ὁμολογεῖται σχεδὸν ἅπασι τοῖς ἐξηγησαμένοις
αὐτόν· τί δὲ βουλόμενος ὁ Ἱπποκράτης ἐχρήσατο τοιούτῳ προοιμίῳ
τῶν ἀπορωτάτων ἐστί, τάχα δ᾽ ἂν εὕροιμεν αὐτό, τὰ ἐκ τοῦ μέρους ἅπαντα
τοῦ λόγου προδιασκεψάμενοι· τὸν μὲν οὖν βίον ὅτι τῇ τέχνῃ παρα-
βάλλων ἔφη βραχὺν, ἅπασι σχεδὸν τοῖς ἐξηγησαμένοις τὸ βιβλίον πρό-
δηλον· τὴν τέχνην δ᾽ αὐτὴν διὰ τοῦτο ὑπολαμβάνω γράφεσθαι μακράν,
ὅτι τὸν καιρὸν οὐ μικροῦ δεῖν ἁπασῶν τῶν κατὰ μέρος ἐνεργειῶν ὀλίγου χρόνου
ἐγχωρεῖν· τοῦτο δὲ δύσληπτον ὡς μακρᾶς δεῖσθαι τριβῆς τὸν διαγνωσόμενον
αὐτὴν· ὀργάνοιν δυοῖν ὄντοιν, οἷν εὑρίσκεται τὰ κατὰ τὰς τέχνας, τὸ μὲν
ἕτερον ἡ πεῖρα σφαλερόν ἐστιν, τὸ δ᾽ ἕτερον ἡ κατὰ λόγον κρίσις οὐκ εὐπετής·
ἀλλ᾽ ἔπεστι καὶ ἄλλο τῶν αὐτῶν δυσκολώτατον· ὁ μὲν οὖν καιρός ἐστιν ὀξύς,

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_128/0058